σὺν ἄλλῃ πάσῃ βίου τερπνότητι
ἐκ τῆς ψυχῆς ὡς ἄϋλος
ἐκτιναξάμενος,
θεολόγων
διδασκάλων τάγμασιν
ὡς ὁμότροπος συναγαλλόμενος.
Ἡ περιστερὰ
ἡ λύσιν τῆς θλίψεως
ἡμῖν ἀγγείλασα
βαρυτάτῳ κλύδωνι
τῆς νέας πλάνης ἐγκινδυνεύουσι
τοῦ παρακλήτου χάριτι,
ἀρετῶν πτέρυξι
χρυσαυγέσι
πετασθεῖσα ἔφθασεν
ἐν ἁγίων ἁγίοις σκηνώμασιν. +
Ῥύσιον παντὸς
τοῦ κόσμου τὸ τίμιον
αἷμα τοῦ κτίστου σου,
μάκαρ, προβαλλόμενος
ἐν τοῖς δεινοῖς κινδύνοις τῆς πίστεως,
μέσος Θεοῦ καὶ τάγματος
τῶν πιστῶν ἵστασο
εὐπροσδέκτοις
λιταῖς ἱλεούμενος
τὸν ἐκ φύσεως ὄντα φιλάνθρωπον.

Θεοτοκίον.

Ἴσχυσε χανών,
Ὦ πάναγνε δέσποινα,
Ἅδης ὁ δόλιος,
δράκων ὁ ἀρχέκακος,
Νηπίου δίκην ῥήξας τὸν ἄνθρωπον·
Νέον δ' ὡς βρέφος νήπιον
τὸν ὑπερτέλειον
Θεὸν Λόγον
Ἡ γῆ ἡ ἀνήροτος
Σὺ τεκοῦσα, ἐρρύσω, πανύμνητε: +

29. δέσποινα πάναγνε A.
32. ῥίξας A.